# 19 IUNIE
# ANTONIOS MARKOU

# SLUJBA SF.IERARH IOAN MAXIMOVICI, ARHIEPISCOPUL SAN FRANCISCO

## MINEIUL-GR


СТ·ІѠАННЪ
САНФРАН-
ЦІССКІЙ

# Ἀκολουθία
# Ἁγίου ΙΩΑΝΝΟΥ ΜΑΞΙΜΟΒΙΤΣ, Ἀρχιεπισκόπου Σαγκάης καί Ἁγίου Φραγκίσκου

[Ἀντ. Μάρκου]

Ψαλλομένη τῇ 19η Ἰουνίου

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τόν Ἱεράρχην Κυρίου* δεῦτε τιμήσωμεν,* τόν θεῖον Ἰωάννην,* τῆς συνέσεως γέρας,* ὑπομονῆς ταμεῖον, τόν αὐτουργόν* ἐξαισίων σημείων τε·* τόν ἐπ' ἐσχάτοις δειχθέντα θαυματουργόν·* τήν Τριάδα τόν δοξάσαντα.

Χαίροις Ῥωσία Ἁγία,* ἡμεῖς τε ἅπαντες,* ἐπί τῇ θείᾳ μνήμῃ* Ἰωάννου Ὁσίου,* τοῦ νέου Ἱεράρχου καί Ἀσκητοῦ,* τοῦ δι' ἱδρώτων τό ἔδαφος* ἀειῤῥόοις ἀρδεύσαντος ὀχετοῖς,* διαπρέπων τοῖς παλαίσμασι.

Πρός τόν Θεόν ἀνυψώσας* τόν νοῦν, ὑπέρτερος* παντός τοῦ κόσμου ὤφθης,* ἐν εἰκοστῷ τῷ αἰῶνι·* λαμπρῶς οὖν ἡ ἁγία σου βιοτή* ἡ ἄμεμπτός σου

κηρύττεται·* ὡς οὐρανίας πατρίδος πολίτης δ’ ὢν* ἐκδυσώπει τόν Παντάνακτα.

Ἐν τῇ Ῥωσίᾳ βλαστήσας,* Πάτερ Μαξίμοβιτς,* Ἱερωσύνης δόξῃ,* ὥσπερ ἄνθος εὐῶδες* ἐξήνθησας, παμμάκαρ· διό πάντας ἡμᾶς* καταρδεύεις τοῖς θαύμασι·* ὅθεν κηρύττομεν ἅπαντες οἱ πιστοί* τά σά μέγιστα θαυμάσια.

Ποιμαντικῶς διαπρέψας,* Πάτερ γλυκύτατε,* σαλότητος τό ἄχθος* καί ἀσκήσεως, Πάτερ,* ὑπέμεινας γενναίως, ἵνα αὐτῶν* καταλάβῃς τόν στέφανον·* διό σου πάντες δεόμεθα ἐκτενῶς* τῷ Θεῷ, σεπτέ, δεήθητι.

Τούς εὐλαβῶς προσκυνοῦντας* τήν σήν ἁγίαν σορόν* καί τήν σεπτήν εἰκόνα,* Ἱεράρχα Κυρίου,* φύλαττε καί σκέπε πρεσβείαις ταῖς σαῖς* ἀπειράστους κακώσεων·* τούς σέ τιμῶντας δέ φύλαξον ἐς ἀεί* τούς προβάλλοντάς σε φύλακα.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ἡμέραν ὑπέρλαμπρον* καί ἔαρ πανευφρόσυνον τῇ Ἐκκλησίᾳ ἀνέτειλε,* ἡ λαμπροφόρος πανήγυρις τοῦ Ἱεράρχου,* εὐφραίνουσα τάς τῶν Ὀρθοδόξων καρδίας* καί τῶν θαυμάτων τοῖς μύροις* τούς πιστούς εὐωδιάζουσα.* Δεῦτε οὖν ἅπαντες* συνευφρανθῶμεν τῇ ἡμῶν Μητρί* καί τάς χεῖρας κροτοῦντες* τῷ Αὐτῆς θείῳ τέκνῳ καί Πατρί* ἐγκωμίοις καταστέψωμεν λέγοντες·* χαίροις Ἰωάννη,* Ἱεράρχα Κυρίου πανθαύμαστε·* χαίροις, ὁ τόν νοητόν Φαραώ* ἐν τοῖς ῥείθροις τῶν ἱδρώτων σου

ἀποπνίξας·* χαίροις, ὁ ἀποστάτην αἰῶνα καί ἀκόλαστον* τῇ παρουσίᾳ σου ἁγιάσας·* χαίροις, ὁ τῶν πιστῶν τάς ἀνάγκας καλύπτων,* τῶν προσπιπτόντων τῷ Λειψάνῳ σου* καί χαρμοσύνως τελούντων τήν ἀεισέβαστον μνήμην σου.

Καί νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει Σε,* Παναγία Παρθένε;* Τίς μὴ ἀνυμνήσει Σου* τὸν ἀλόχευτον τόκον;* Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς* ἐκλάμψας Υἱὸς μονογενής,* ὁ αὐτός ἐκ Σοῦ τῆς Ἁγνῆς προῆλθεν,* ἀφράστως σαρκωθείς,* φύσει Θεὸς ὑπάρχων* καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς·* οὐκ είς δυάδα προσώπων τεμνόμενος,* ἀλλ' ἐν δυάδι φύσεων* ἀσυγχύτως γνωριζόμενος.* Αὐτὸν ἱκέτευε,* σεμνὴ Παμμακάριστε,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. ι΄ 7, γ΄13).

Μνήμη δικαίου μετ' ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ

τέκνα· σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶν. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ΄1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ

ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε' 15 - στ' 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρὰ Ὑψίστου. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως·

ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε˙ μάθετε δικασταὶ περάτων γῆς˙ ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν˙ ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τήν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ Ἀνταμόβκα,* Χαρκόβου κώμη ἡ ἐξάκουστος,* ἡ ἐν σπαργάνοις βαστάσασα τόν Ἱεράρχην Κυρίου* Ἰωάννην τόν Μαξίμοβιτς·* οὗτος γάρ ἐκόσμησε τήν Χριστοῦ Ἐκκλησίαν,* ἀπαθείας σκεῦος πολυτίμητον* καί προσευχῆς ἀόκνου ταμεῖον ἄσυλον γενόμενος.* Δεῦρο οὖν τό φιλέορτον τῶν Ὀρθοδόξων σύστημα* πανηγυρίσωμεν πίστει,* τήν θείαν αὐτοῦ ἀνυμνοῦντες κοίμησιν,* τό ἡμέτερον φαιδρόν ἀγαλλίαμα.

Ἦχος β΄.

Ῥωσία μέν ἡ Ἁγία* ἐναβρύνεται, Πάτερ Ἰωάννη,* ὡς γενέθλιόν σου ἔδαφος·* ταύτῃ δέ ἑπομένη Σαγκάη σεμνύνεται,* ἡ τοῖς σοῖς ἀσκητικοῖς ἱδρῶσι καταρδευθεῖσα* καί τῷ ἀρότρῳ γεωργηθεῖσα* τῆς σῆς πρός τόν πλησίον ἀγάπης·* τά πλεῖστα ὅμως καυχᾶται* Φραγκίσκου ἡ πόλις ἡ Ἀμερικανίς,* ἡ ὄλβον οὐράνιον καί ἀναφαίρετον κεκτημένη* τό σόν χαριτόβρυτον σκῆνος καί ἀδιάφθορον.* Σύν αὐτῇ οὖν

καί ἡμεῖς βοῶμεν·* πρεσβείαις, Κύριε, τοῦ Ὁσίου Σου* τόν κόσμον Σου ἐλέησον.

Ἦχος γ'.

Ὁ τοῦ Θεοῦ συνεργείᾳ* ναόν ὑπέρλαμπρον τῇ Θεοτόκῳ ἀνεγεῖρας,* Ἰωάννης ὁ σεπτός,* πρό τῆς ἁγίας Αὐτῆς εἰκόνος,* τό πνεῦμα παραδοῦναι τῷ Κυρίῳ ἠξίωται,* ὅτι ὑπῆρχεν Αὐτῆς θεράπων,* ἔρωτι θείῳ τρωθείς τῆς Θεόπαιδος·* καί σαρκός καί κόσμου ἔξω γενόμενος,* οἷαπερ Ἄγγελος ἐβίωσεν* καί μνήμην ἀγαθωτάτην ἡμῖν κατέλειπεν.* Βοήσωμεν οὖν αὐτῷ,* τῷ εἰκόνα ἐναρέτων πράξεων ὀφθέντι·* πρόφθα-σον, Πάτερ, σῶσον ἡμᾶς πρεσβείαις σου.

Ἦχος δ'.

Ἡ τοῦ ἀφθόρου Λειψάνου σου θεία λάρναξ,* ἰάματα πηγάζει τοῖς προστρέχουσι,* Πάτερ χαριτώνυμε·* καί ἡ ἁγία ψυχή σου Ἀγγέλοις συνοῦσα* ἀξίως ἐπαγάλλεται·* ὡς ἔχων οὖν πρός Κύριον τήν παῤῥησίαν* καί σύν πᾶσι τοῖς Ἁγίοις ἐν οὐρανοῖς περιχορεύων,* ἱκέτευε ὑπέρ ἡμῶν* τῶν ἐκτελούντων τό σόν μνημόσυνον.

Δόξα. Ἦχος πλ. β'.

Τίς ἐξείπει τάς ἀριστείας σου, σοφέ;* Ἤ τίς ἐπαινέσει τῶν ἀγώνων σου τά εἴδη;* Ἱερωσύνης γάρ ἦρας τόν σταυρόν,* ὁσιακῆς ἀσκήσεως, ὁμοῦ τε καί σαλότητος·* ἀενάως ἐν ὀφθαλμοῖς τό δάκρυον φέρων* καί κλήνης ἀναπαύσεως ἐλαχίστως χρησάμενος·* ὅθεν Ἱεραρχῶν καί Ὁσίων ἀνεδείχθης ἀκρότης* καί προστάτης ἀκοίμητος τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε, Σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς·* Σὲ ἱκετεύομεν* πρέσβευε, Δέσποινα,* μετὰ τοῦ Ἱεράρχου* καὶ πάντων τῶν Ἁγίων* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τόν Στίχον. Ἦχος πλ. α᾿. Χαίροις ἀσκητικῶν.

Χαίρει* λαμπροφοροῦσα φαιδρῶς* τῶν Ὀρθοδόξων ἀγαλλομένη ὁμήγυρις,* τήν μνήμην σου ἐκτελοῦσα* καί τήν λαμπράν τελετήν* τῆς σῆς ἐπ’ ἐκκλησίᾳ διακηρύξεως·* διό καί προσέρχονται* τῇ ποτέ σῇ καθέδρᾳ νῦν* ἀπό Ῥωσίαν,* Ῥουμανίαν, Ἑλλάδαν τε* καί Βουλγαρίαν* Ὀρθοδόξων συστήματα.* Πάντες τά νῦν χορεύουσι,* ὅτι ἔσχηκας σύνεσιν* βίου καί λόγου καί χάριν* ὑπερφυῆ, Πάτερ, ἔλαβες·* διό ὑπέρ πάντων* ἐντυγχάνεις τῷ Κυρίῳ* τῶν εὐφημούντων σε.

Στ. *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καί ὡσεί κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Χαίροις* ὁ λαμπροφόρος ἀστήρ,* ὁ καταυγάζων τήν ὑφήλιον ἅπασαν* ἀκτῖσι τῶν σῶν θαυμάτων* καί δαδουχών τούς πιστῶς* τήν λαμπράν σου μνήμην, Πάτερ, ἄγοντας·* ψυχῶν καί σωμάτων γάρ* εὑρηκότες ἀκέστορα,* ὡς ὀλετῆρα* πάσης νόσου καί μάστιγος* εὐφημοῦμέν σε* καί θερμόν ἀντιλήπτορα·* ὅθεν καί τῷ Λειψάνῳ σου* τῷ θείῳ προσκύπτοντες* λῦσιν πταισμάτων τρυγῶμεν* καί μακαρίαν ἀπόλαυσιν*

Θεοῦ, Ὧ ἀσμένως* ὑπέρ πάντων ἐντυγχάνεις,* Ὁσίων σύσκηνε.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις* ὁ τῶν Ἁγίων Χριστοῦ* μέγιστος φίλος· θησαυρόν ἀδαπάνητον,* Πάτερ, ὦ Ἰωάννη, ὁ καταλείψας ἡμῖν* τῶν τῆς Ἑσπερίας μνήμας, Ὅσιε,* Ἁγίων· μεθ' ὧν νῦν* ἐν τῷ πόλῳ ἀγάλλεσαι,* τῇ ἄνω Πόλει,* οὐρανοῦ τοῖς σκηνώμασι,* ἔνθα τάγματα* τῶν Δικαίων χορεύουσι,* σύν τῇ Παρθενομήτορι* Ἥν πόθῳ ἠγάπησας* καί Ἧς πρός δόξαν τήν θείαν* ναόν Αὐτῇ ᾠκοδήμησας·* πρός Ἥν εὗρες χάριν* ἱκετεύειν ὑπέρ πάντων* τῶν εὐφημούντων σε.

Δόξα. Ἦχος δ'.

Ἱεραρχῶν τήν καλλονήν,* Ἰωάννην τόν ἀπόγονον* τοῦ ὁμωνύμου αὐτοῦ καί ὁμαίμονος τῆς Σιβηρίας Ἀρχιθύτου,* χρεωστικῶς οἱ πιστοί ἀνευφημήσωμεν·* ἐκείνου μέν τό ἄφθαρτον σκῆνος* τήν τοῦ Τομπόλσκ περικοσμεῖ Μητρόπολιν·* αὐτοῦ δέ ὁμοίως* ἐν τῇ τοῦ Φραγκίσκου πόλει τεθησαύρισται·* ἀμφότεροι γάρ ἐνθέρμως τόν Χριστόν ἀγαπήσαντες,* τά τοῦ βελίαρ δόκανα ἐμυκτήρισαν ὡς παίγνια.* Ὡς ἔχοντες οὖν παῤῥησίαν πρός Κύριον, Ἅγιοι,* Τοῦτον δυσωπήσατε ὑπέρ τῶν δούλων Του.

Καί νῦν. Θεοτοκίον.

Νεῦσον παρακλήσει* Σῶν οἰκετῶν, Πανάμωμε,* παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις,* πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα·* Σὲ γὰρ μόνην ἀσφαλῆ* καὶ

βεβαίαν ἄγκυραν ἔχομεν* καὶ τὴν Σὴν προστασίαν κεκτήμεθα.* Μὴ αἰσχυνθῶμεν, Δέσποινα,* Σὲ προσκαλούμενοι,* σπεῦσον εἰς ἱκεσίαν τῶν Σοὶ πιστῶς βοώντων·* χαῖρε Δέσποινα,* ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη* καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκια. Ἦχοε α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τόν ἐν ἐσχάτοις τοῖς χρόνοις* ἀσκήσει λάμψαντα* καί ἔργων εὐποιΐας,* Ἰωάννην τόν πάνυ,* τόν ἐν Ἱεράρχαις θαυματουργόν,* οὗ τό Λείψανον ἄφθαρτον* ἡμῖν κατέλειπε Κύριος ὁ Θεός,* ὕμνοις πρέπουσιν ὑμνήσωμεν.

Ἦχος γ΄. Θείας Πίστεως. Ἀδελφότητος Ἱ. Μ. Ἁγίων Ἀγγέλων Ἀφιδνῶν Ἀττικῆς.

Ἀδιάφθορον ἐν Ἱεράρχαις* σέ ἀνέδειξεν* ὁ πάντων Κτίστης* καί ἐν Ἁγίοις θαυματουργόν, ἰσοστάσιον* χοροῦ Ὁσίων, Σαλῶν τε ὁμότιμον,* ὦ Ἰωάννη, Ῥωσίας τό βλάστημα·* ὅθεν πόθῳ σε μεσίτην θεῖον κατέχοντες, αἰτοῦμεν διά σοῦ τό μέγα ἔλεος.

Ἕτερον. Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον. Δρ. Χαρ. Μπούσια.

Ἰωάννη Μαξίμοβιτς, ἀγγελόμορφε,* Ἱεραρχῶν θεοφόρων καί διδασκάλων σοφῶν* ἐκλαμψάντων ἄρτι σάπφειρε πολύτιμε,* ὡς Ὀρθοδόξων ἀσκητῶν* καλλονήν καί ποταμόν* ἀστείρευτον θαυμασίων,* σέ ἀνυμνοῦντες εὐχάς σου* θερμάς πρός Κύριον αἰτούμεθα.

Ἕτερον. Ἦχος δ'. Ταχὺ προκατάλαβε. Ἀρχιμ. Ἀγαθαγγέλου Νικολαΐδη.

Ἐν κόσμῳ ἐβίωσας ὡς ἀσκητὴς θαυμαστός* καὶ γέγονας στήριγμα τῶν λογικῶν τοῦ Χριστοῦ* προβάτων, μακάριε·* ἄφθαρτον τὸ σὸν σκῆνος* καὶ ἀκέραιον ὤφθη,* ῥέον ἀδιαλείπτως* τῶν θαυμάτων τὴν χάριν·* διό σε, ὦ Ἰωάννη σοφέ,* πόθῳ γεραίρομεν.

Δόξα. Ἕτερον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης. Τοῦ αὐτοῦ.

Τῆς Ῥωσσίας τὸν γόνον καὶ Σαγκάης τὸν ἔφορον,* τῆς Ἀμερικῆς τὸν προστάτην,* Ἰωάννην τιμήσωμεν·* σεπτῶν Ἀρχιερέων καλλονήν,* χηρῶν καὶ ὀρφανῶν τὸν πλουτιστήν·* τῶν θαυμάτων γὰρ παρέχει τὰς δωρεάς* τοῖς εὐλαβῶς κραυγάζουσι·* δόξα τῷ σὲ δοξάσαντι Χριστῷ,* δόξα τῷ σὲ θαυμαστώσαντι,* δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ* πᾶσιν ἰάματα.

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοι Παρθένε τὸ χαῖρε,* σὺν τῇ φωνῇ ἐσαρκοῦτο* ὁ τῶν ὅλων Δεσπότης* ἐν Σοὶ τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαυΐδ.* Ἐδείχθης* πλατυτέρα τῶν οὐρανῶν* βαστάσασα τὸν Κτίστην Σου.* Δόξα τῷ ἐνοικήσαντι ἐν Σοί,* δόξα τῷ προελθόντι ἐκ Σοῦ,* δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς* διὰ τοῦ τόκου Σου.

Ἀπόλυσις.

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τον τάφον Σου, Σωτήρ.

Ὡς ἄστρον ἀπλανές* τῆς Χριστοῦ Ἐκκλησίας,* ἐνθέοις ἀρεταῖς* καί ἀσκήσεως πόνοις,* Ἰωάννη μακάριε,* ἐφ' ἡμᾶς ἀνατέταλκας* είς τόν ἔσχατον* καιρόν τῆς ἀποστασίας·* διό σπεύδομεν* καί σοί προσπίπτομεν, Πάτερ,* δεόμενοι πρόφθασον.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Περίβλεπτον ναόν* ἐν τῇ πόλει Φραγκίσκου* ἀνήγειρε πολλοῖς* μακροχρόνοις καμάτοις,* Παρθένε ὁ δοῦλος Σου,* Ἰωάννης ὁ ἔνθεος·* ἔνθα σήμερον* αὐτοῦ τό πάντιμον σκῆνος* ἀδιάφθορον* καί πλῆρες χάριτος κεῖται* πηγάζων ἰάματα.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.

Ἰωάννου τούς πόνους ἀνευφημήσωμεν* ἱερῶς ἀθροισθέντες ἐν τῷ πανσέπτῳ ναῷ* τῆς Παρθένου οἱ πιστοί καί ἐκβοήσωμεν·* χαῖρε εὐσεβῶν ὁ στηριγμός,* αἱρετιζόντων ὀλετήρ,* κακοδοξίας ἡ μάστιγξ·* μή διαλείπῃς πρεσβεύων* ἐλεηθῆναι τούς σούς πρόσφυγας.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἀειπάρθενε Κόρη δέχου τοῦ δούλου Σου,* Ἰωάννου τοῦ πάνυ, τήν ἱκεσίαν, Σεμνή,* καί εἰρήνευσον, Ἁγνή, τήν Ἐκκλησίαν Σοῦ Υἱοῦ* ἀπό

ἐχθροῦ τῶν σκανδάλων·* ἡμᾶς δέ στήριξον πάντας* Ὀρθοδοξίᾳ καί σεμνότητι.

Μετά τόν Πολυέλεον, Κάθισμα. Ἦχος γ΄. Τήν ὡραιότητα.

Τό ἀδιάφθορον* θεῖον σου Λείψανον* ἡμῖν κατέλειπες* προνοίᾳ Κτίσαντος* εἰς εὐλογίαν καί πηγήν* ἰάσεων, Ἰωάννη·* πάντας γάρ κατέπληξας* τῇ σεμνῇ πολιτείᾳ σου·* διό, Πάτερ, ἠξίωσαι* τοῦ τελεῖν τά θαυμάσια·* πάντων οὖν δέχου τόν αἶνον* καί Κυρίῳ πρέσβευε.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Τήν σκοτισθεῖσαν μου* ψυχήν καταύγασον* φωτί τῆς χάριτος* τοῦ θείου Τόκου Σου,* Ἁγνή Παρθένε Μαριάμ,* πρεσβείαις τοῦ Ἰωάννου·* καί ἀχλύν ἀπέλασον* τῶν ἀπείρων πταισμάτων μου,* ὅπως εὕρω ἔλεος* ἐν τῇ ὥρᾳ τῆς Κρίσεως·* καί χαίρων ἐκβοῶ Σοι, Παρθένε,* χαῖρε Χαρά* πάντων τῶν θλιβομένων.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην (Κεφ. ι΄ 9 – 16).

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται

καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσιν καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ ἔστιν τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησιν τὰ πρόβατα καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστιν καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν· καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνα δεῖ με ἀγαγεῖν καὶ τῆς φωνῆς μου ἀκούσουσιν καὶ γενήσονται μία ποίμνη, εἷς ποιμήν.

Ὁ Ν΄ (50) Ψαλμός.
Δόξα. Ταῖς τοῦ Ἱεράρχου...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...
Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Ἐκ τῆς κατά Ῥωσίαν νοητῆς τοῦ Κυρίου ἡμῶν Ἀμπέλου* βλαστός ὡραιότατος ἀνεβλάστησας,* Ἰωάννη θεσπέσιε·* ζήλῳ δέ θείῳ κινούμενος* θαυμαστήν ὄντως ἐπέδειξας πολιτείαν,* δι’ ἧς τήν σύμπασαν κατηύφρανας Ἐκκλησίαν,* τήν ἐπαξίως γεραίρουσαν τήν μνήμην σου.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου (τῆς Χαρᾶς πάντων τῶν θλιβομένων ἤ ὁ Μικρός Παρακλητικός Κανών) καί τοῦ Ἁγίου δύο.

Κανών α΄, οὗ ἡ ἀκροστιχίς· *ΙΩΑΝΝΗ ΤΩ ΜΑΞΙΜΟΒΙΤΣ ΥΜΝΟΣ. ΑΝΤΩΝΙΟΥ.*

Ὠδή α΄. Ἦχος δ΄. Ἀνοίξω τό στόμα μου.
Ἱκεσίαις σου, Ἅγιε,* τῷ θείῳ φέγγει τῆς χάριτος* τόν νοῦν μου καταύγασον, ὅπως ὑμνήσω τήν σήν* μνήμην ἄσμασι* ἐμπρέποις, Ἱεράρχα,* καί βίου σου, Ὅσιε, τά κατορθώματα.
Ὡς λυχνίαν σε πάμφωτον* χαρισμάτων τοῦ Πνεύματος* πιστοί ἀνυμνοῦμεν σε, ὦ Ἰωάννη σοφέ,* καί δεόμεθα* σαῖς ἱκεσίαις σπεῦσον* παθῶν τόν ὀγκόλιθον* ἆραι ἀπό τῶν τιμώντων σε.
Δόξα.
Ἀληθῶς ἀναδέδειξαι,* Πάτερ, καμνόντων ἀντίληψις,* πιπτόντων ἀνόρθωσις καί ἀσθενῶν βοηθός,* τῶν εἰκόνι σου* τῇ θείᾳ προσκυπτόντων* καί θείου Λειψάνου σου τιμώντων λάρνακα.
Καί νῦν. Θεοτοκίον.
Ναόν καί πύλην οὐράνιον* καί Βασιλέως παλάτιον,* Σέ πάντες κηρύττομεν καί Σοί προσπίπτομεν·* Μῆτερ στήριξον* τήν πεπτωκότων φύσιν* ἡμῶν, ὡς φιλάνθρωπος,* δι’ ἀγαθότητα.

Κανὼν β΄, οὗ ἡ ἀκροστιχίς· *ΔΕΗΣΙΣ ΙΩΑΝΝῌ ΘΕΙῼ ΑΝΤΩΝΙΟΥ ΙΚΕΤΟΥ.*

Ὠιδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Δεόμενος, Ἅγιε, τοῦ τυχεῖν* σαῖς θείαις πρεσβείαις* βοηθείας ἐξ οὐρανοῦ,* παράκλησιν ἔνδακρυν ποιοῦμαι* καὶ σὲ μεσίτην προβάλλω πρὸς Κύριον.

Εὐχαῖς σου ταῖς θείαις καὶ οἰκτιρμοῖς,* τὸν πάσχοντα, Πάτερ, συνεργείᾳ τοῦ πονηροῦ* διάσωσον, μάκαρ Ἰωάννη,* καὶ πρὸς ὑγείας ὁδὸν χειραγώγησον.

Δόξα.

Ἡμάρτηκα, Ὅσιε, καὶ Θεοῦ* προσβάλλω εἰκόνα* καὶ βεβύθισμαι ἐν βυθῷ* δικαίας τε κακίστης ἀπωλείας·* πλὴν Ἰησοῦ τῷ Κυρίῳ μεσίτευσον.

Καὶ νῦν. Θεοτοκίον.

Σωτῆρα τεκοῦσα, ὦ Μαριάμ,* σπλαχνήθητι, Κόρη,* Ἰωάννου σεπταῖς λιταῖς* καὶ σπεῦσον λυτρώσασθαι Σὸν δοῦλον,* τῆς ἐρχομένης δικαίας παιδεύσεως.

Ὠιδὴ γ΄.

Κανὼν α΄. Τοὺς Σοὺς ὑμνολόγους.

Ναμάτων πηγὴ ἡμῖν ἐδόθης* ἀρδεύων, παμμάκαρ, τῶν ψυχῶν* ἡμῶν τὸ ἀγεώργητον,* ταῖς πρὸς Θεὸν πρεσβείαις σου·* διὸ καὶ σοῦ δεόμεθα* πρὸς ἀρετὴν καθοδήγησον.

Ἠρέμως τὸν βίον, Ἱεράρχα,* ἱκέτευε ἀπαύστως διελθεῖν·* τυχεῖν δὲ τῆς ἀνέσεως* τῆς Βασιλείας,

Ὅσιε,* τῶν οὐρανῶν, οἱ ὑμνοῦντες σε*, ὡς παῤῥησίαν κεκτήμενος.

Δόξα.

Ταμεῖον Γραφῶν τῶν θεοπνεύστων* ἐδείχθης· διό τά ὑπέρ νοῦν, μεμύησαι μυστήρια* τῇ καθαρᾷ καρδίᾳ σου,* πρός θεωρίαν νοεράν* ἐκ πρακτικῆς ἀναγόμενος.

Καί νῦν. Θεοτοκίον.

Ὦ Μῆτερ, διάλυσον τό σκότος* τῷ ἐν τῇ καρδίᾳ τῇ ἐμῇ* τῶν γεηρῶν φαντασιῶν* φωτί τό τοῦ προσώπου Σου·* Σοί γάρ, Ἁγνή, προσέρχομαι* ἐξαιτούμενος ἔλεος.

Κανὼν β΄. Οὐρανίας ἁψῖδος.

Ἰαμάτων τήν χάριν* παρά Θεοῦ, Πάτερ, ἔλαβες* καί θαυματουργός ἀνεδείχθης·* διό σοῦ δέομαι*, ἐμέ τόν φέροντα* νόσων ποικίλων τό ἄχθος,* τάχιστα ἀπάλλαξον,* ὡς συμπαθέστατος.

Σάλπιγξ θείων ἐδείχθης* λόγων καί πράξεων, Ὅσιε,* ἔμπλεως ἀγάπης καί ζήλου·* διό σοῦ δέομαι,* ἐμέ τόν σπεύδοντα* ὑπό τήν σήν προστασίαν* στήριξον, ἐνίσχυσον καί σῶσον δέομαι.

Δόξα.

Ἱλαρόν τό σόν ὄμμα* ἐπί τόν πάσχοντα στρέψον νῦν* καί ταῖς σαῖς λιταῖς τῷ Κυρίῳ,* ὁμοῦ δεήσεσιν,* τήν χάριν ἕλκυσον* ἐπί τόν πταίοντα ὅλως* καί παιδαγωγούμενον* χειρί τοῦ Κτίσαντος.

Καί νῦν. Θεοτοκίον.

Ὦ Πανύμνητε Μῆτερ,* Παρθένε, Κόρη Ἀπείρανδρε,* δέησιν τήν ἔνθερμον δέχου* Ἰωάννου καί λύτρωσαι* τῆς τοῦ Υἱοῦ Σου ὀργῆς* τῆς φοβερᾶς καί δικαίας* τῆς ἐπαπειλούσης με,* Κυρία Πάνσεμνε.

Κάθισμα. Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.

Ἐκβλαστήσας ἐκ ῥίζης, Πάτερ, σεπτῆς,* ἐν τῷ οἴκῳ Κυρίου, ὡς ἀληθῶς,* πολλούς κατεφύτευσας* ἐπί γῆν τήν σωτήριον·* καί ὡς κριός ποιμνίου* τά μᾶλλα ἐπίσημος,* ἐξ αὐτοῦ προσήγαγες Θεῷ Παντοκράτορι·* διά δέ χαρισμάτων* οὐρανίων τόν κόσμον* συμπαθῶς εὐεργέτησας· διά τοῦτο βοῶμεν σοι,* μή παύῃς πρεσβεύειν Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι, μάκαρ,* σήν σεπτήν πανήγυριν.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Παναγία Παρθένε, Μήτηρ Θεοῦ,* τῆς ψυχῆς μου τά πάθη τά χαλεπά* ἴασαι, δέομαι,* ἅ ἀφρόνως διέπραξα,* ψυχήν καί τό σῶμα* ἀμαυρώσας ὁ ἄθλιος·* οἴμοι! τί ποιήσω* ἐάν μή σπεύσῃς τῇ ὥρᾳ* ἡνίκα οἱ Ἄγγελοι τήν ψυχήν μου χωρίζουσι* τοῦ ἀθλίου μου σώματος.* Δέσποινα βοήθησον καμοί,* ἱκεσίαις Ἰωάννου θεράποντος·* Σέ γάρ ἔχω ἐλπίδαν ὁ ἄθλιος.

Ὠδή δ'.

Κανών α'. Ὁ καθήμενος ἐν δόξῃ.

Μέγας, Πάτερ, ἀνεδείχθης* πανταχοῦ καί περίβλεπτος·* ἰαμάτων γάρ τήν χάριν* ὁ Παντελεήμων σοί ἔδωκεν·* διό τά πλήθη πιστῶν σοί καταφεύγουσι* ἀνακράζοντα·* δόξα Χριστέ τῇ δυνάμει Σου.

Ἀστήρ ὤφθης Ἐκκλησίας,* Ἰωάννη πανεύφημε,* δι' ὁσιωτάτου* βίου καί δογμάτων ὀρθότητος,* ἅ διδαχαῖς θεηγόροις ὑπερήσπισας,* ὡς τῆς χάριτος* μυσταγωγός ἐνθεώτατος.

Δόξα.

Ξένον βίον, Ἱεράρχα,* ἐν τῷ κόσμῳ ἐβίωσας·* τῆς σοφίας γάρ τόν πλοῦτον* καί τά ἱερά σου παλαίσματα,* δι' ἐπιπλάστου μωρίας καί ἁπλότητος* κατεκάλυψας,* ὡς ἀληθῶς ἀνήρ θεόσοφος.

Καί νῦν. Θεοτοκίον.

Ἰατρεύσασα τά πάθη* τῆς ψυχῆς ἅ μολύνουσι* τήν ψυχήν μου, φόβῳ* τοῦ Υἱοῦ Σου ῥύθμισον, Ἄχραντε,* καί μετανοίας ὁδόν ἐμοί διάνοιξον,* Σοῦ θεράποντος* Ἰωάννου ἐνθέρμοις δεήσεσι.

Κανών β'. Εἰσακήκοα, Κύριε.

Ἁμαρτίας ὁ ἔμπλεως* μεθ' ἐλπίδος, Πάτερ, πρός σέ κατέφυγον* ἐξαιτούμενος, μακάριε,* πρός Χριστόν πρεσβείᾳ σου τήν ἄφεσιν.

Νεκρώσας τοῖς πάθεσι* καί ἀμαυρώσας, Πάτερ, τήν ὡραιότητα* τῆς ψυχῆς μου, σοί προσέρχομαι* καί σοῦ δέομαι· ἱλάσθητι.

Δόξα.

Νικητήν σε ὁ Κύριος* τῆς φθορᾶς τοῦ σκήνους, σεπτέ, ἀνέδειξε·* διό νίκην τήν τοῦ πνεύματος* κατά τῶν παθῶν, προσπίπτων δέομαι.

Καί νῦν. Θεοτοκίον.

Ἡ μόνη Πανάχραντος,* ἡ τόν Σόν ἱκέτην Ἰωάννην Μαξίμοβιτς* χαριτώσασα, Πανύμνητε,* δέχου δέησιν αὐτοῦ καί ἡμᾶς ἐλέησον.

Ὠδή ε΄.

Κανών α΄. Ἐξέστη τά σύμπαντα.

Μαρτύρων ἐξύμνησας* τῇ θεηγόρῳ γλώττῃ σου,* ἀγῶνας, Ἰωάννη, τούς μεγίστους,* οὓς ἐμιμήθης ἀξίως καί δι’ ὧν* θαυμάτων τήν χάριν εἰληφώς,* τῆς οἰκουμένης ἄμισθος* ἰατρός ἀναδέδειξαι.

Ὁσίως ἐβίωσας,* τούς ἀσεβεῖς δέ ἤλεγξας,* Πάτερ· διό θεῖος Ἱεράρχης* ἐδείχθης ἐν ἐσχάτοις τοῖς καιροῖς,* δογμάτων τῶν σεπτῶν προασπιστής·* ὅθεν σε καί Ἄτλαντα* ἡ Ἐκκλησία κηρύττει σε.

Δόξα.

Βασιλείας ἠξίωσαι* οὐρανῶν· ὅθεν, Δέσποτα,* σπεῦσον τῇ πρεσβείᾳ σου καί παῦσον* τῆς Ἐκκλησίας τά σκάνδαλα δι’ὧν* μεμέρισται Κυρίου χιτών·* ἅπαντας δέ στήριξον* Ὀρθοδοξίας κελεύσμασι.

Καί νῦν. Θεοτοκίον.

Ἰωάννης, Πανάχραντε,* ὁ σεπτός Σοί προσπίπτει νῦν* δεόμενος ὑπέρ τῶν προσκυπτόντων,* ἵνα ῥυσθῶμεν αὐτοῦ πρεσβείαις, Ἁγνή,* ὀργῆς ἐπερχομένης τοῦ Θεοῦ,* οἱ τά μᾶλλα πταίοντες* καί Αὐτόν παροργίζοντες.

Κανών β΄. Φώτισον ἡμᾶς.

Θείου φωτισμοῦ* καί ἀφέσεως σοῦ δέομαι,* Ἰωάννη, τοῦ τυχεῖν ταῖς σαῖς εὐχαῖς·* ἀγωνίας γάρ βυθῷ, Πάτερ, βεβύθισμαι.

Ἔλεος εὑρεῖν* ἐν ἡμέρᾳ τήν τῆς Κρίσεως,* Πάτερ, δέομαι ἐντόνως καί θερμῶς,* τῆς πρός Κύριον τόν Δίκαιον πρεσβείας σου.

Δόξα.

Ἵλεως γενοῦ* τῷ πολλά πταίοντα, Κύριε,* ἱκεσίαις Ἰωάννου καί λιταῖς·* τοῦτον, Σῶτερ, Σοί προσάγω ἀντιλήπτορα.

Καί νῦν. Θεοτοκίον.

Ὡραῖος ὑπέρ νοῦν* πέλει ὁ Τόκος Σου, Θεόνυμφε,* Ὅν ἱκέτευε Σοῦ δέομαι θερμῶς,* τοῦ φωτίσαι τῆς ψυχῆς μου τήν τυφλότητα.

Ὠδή στ΄.

Κανών α΄. Τήν θείαν ταύτην.

Τῇ ῥάβδῳ, σοφέ, διακρίσεως* σοφῶς τήν Ἐκκλησίαν ἐποίμανας,* λόγοις τε καί πράξεσι·* διό

Ἀποστόλων ὁμότροπος* ὑφ’ ἁπάντων πιστῶν ὀνομάζεσαι.

Σαγκάης ἕδραν ἐκλέϊσας,* Φραγκίσκου τε ἑτέραν, μακάριε,* ὡς ἀληθής Ἐπίσκοπος·* διό σόν ποίμνιον, Ὅσιε,* ἔσχεν μεγάλην ὠφέλειαν.

Δόξα.

Ὑπέρ ἁπάντων ἠγώνισαι* τῶν πίστει ὑποτρεμούσῃ αἰτούντων σῆς* ἐνθέρμου ὑποστηρίξεως,* ὡς ἐλεήμων καί συμπαθής* καί σπλάχνα ἀγάπης κεκτήμενος.

Καί νῦν. Θεοτοκίον.

Μαρία, ῥείθροις τήν ἄγονον* καί ἄνικμον ψυχήν μου κατάρδευσον,* Σεμνή, Σῆς ἀγαθότητος,* ἵνα ζωήν τήν ἐνάρετον* Θεῷ προσφέρων σωθήσομαι.

Κανών β΄. Τήν δέησιν.

Ἀρνήσεως* καί προσβολῆς τῆς εἰκόνος* τῆς τοῦ Θεοῦ καί τάς τοῦ βίου μου πτώσεις* καί τῆς ψυχῆς μου τά τραύματα, Πάτερ,* καί τοῦ νοός σκοτισμόν καί τήν οἴησιν* θεράπευσον ὡς ἰατρός* συμπαθής, ταῖς πρός Θεόν ἱκεσίαις σου.

Νενίκημαι* ὑπό τοῦ πλάνου καί κεῖμαι* πτῶμα φρικτόν πρό τῶν ποδῶν τοῦ Δεσπότου·* διό καί νῦν τῇ ἀντιλήψει σου σπεύδω* καί σοί προσκύπτω δεόμενος· πρόφθασον*, ἀνάστησον τόν φοβερᾷ* πτώσει πεσόντα καί στήριξον, Ὅσιε.

Δόξα.

Τέλους καλοῦ* καί μετανοίας ἐμπράκτου,* ἔργων ἀγάπης καί παθῶν ἐγκρατείας,* ἀξίωσόν με,

εὐσυμπάθητε Πάτερ,* καί τῇ ζηδώρῳ πρεσβείᾳ σου σῶσον με,* ἀνάγων με ἀπό βυθοῦ* τῆς ἀπωλείας πρός ὕψος τῆς χάριτος.

Καί νῦν. Θεοτοκίον.

Ὡραῖος ὤν* ὁ Σός Υἱός, Θεοτοκέ,* ὁ ὡραιότητα ἁγίαν βραβεύσας* τῷ Ἱεράρχῃ Αὐτοῦ Ἰωάννῃ,* οὗ ταῖς πρεσβείαις θαῤῥῶν νῦν προσέρχομαι* πρό βήματος Δεσποτικοῦ,* τελωνικῶς βοών Αὐτῷ τό ἱλάσθητι.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἰωάννην, Κύριε, ὁ χαριτώσας* καί αὐτοῦ τό Λείψανον* ἐν ἀφθαρσίᾳ διατηρῶν,* τούτου εἰσάκουσον, Δέσποτα,* εἰρήνην κόσμῳ* καί ἔλεος δώρησαι.

Ὁ Οἶκος.

Ῥώμῃ Χριστοῦ ἐνισχυθείς, ὦ θεόφρον,* ὡς ἱερός Λειτουργός καί Ἱεράρχης Αὐτοῦ,* ἐν πράξεσι θείαις ἀναδέδειξαι* τῆς τῶν Ὁσίων χορείας ἰσοστάσιος* καί τῆς τῶν Σαλῶν ἐκείνης ὁμότιμος·* διό τῷ θρόνῳ τοῦ Κτίσαντος παριστάμενος,* μετά τῶν Ἀγγελικῶν ὁμοῦ ταγμάτων,* πρέσβευε, Ἰωάννη, ἀπαύστως,* ὅπως ὁ Δεσπότης*εἰρήνην κόσμῳ* καί ἔλεος δωρήσηται.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου Ἰωάννου Μαξίμοβιτς, Ἀρχιεπισκόπου Σαγκάης καί Ἁγίου Φραγκίσκου, τοῦ Θαυματουργοῦ.

Στίχοι·

*Θαυμάτων τήν πηγήν τιμήσωμεν, ὦ φίλοι,*
*τόν Χριστοῦ θεράποντα ἄφθορον Ἰωάννην.*
*Ὅς ἡμῖν ἀνέτειλε ἐν εἰκοστῷ αἰῶνι,*
*ὡς φῶς ἐν σκότει παχυλῷ, τούς ἐν αὐτῷ φωτίζων.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ΄.

Κανών α΄. Οὐκ ἐλάτρευσαν.

Νάμασι* ἐνθέοις ἀρδευόμενοι σέ μακαρίζομεν* βοῶντες· χαῖρε σεπτέ·* τά σά μεγαλεῖα γάρ ξένα καί ἄπειρα,* Πάτερ, ἐντυγχάνουσι·* ὅθεν τόν νοῦν ἡμῶν αὔγασον* τοῦ ὑμνεῖν τόν Θεόν Λόγον.

Ὁ λαμπρότατος* ναός τῆς Θεομήτορος, ὅν σύ ἀνήγειρας,* ἡμῶν ὑπάρχει κρατήρ* τοῖς πίστει προσκύπτουσι πρό τοῦ Λειψάνου σου* ξένων ἰάσεων·* μή παύῃς, ὅθεν, δεόμεθα* τοῦ ἱκετεύειν, Ἱεράρχα.

Δόξα.

Σπεῦσον, πρόφθασον,* δι' οἰκτιρμούς ἀπείρους σου μή ὑπερίδῃς μου* φωνήν τήν ἱκετήριον,* ἀλλά Χριστόν τόν Θεόν,* ἐλέους τήν ἄβυσσον, κάμψον Ἅγιε ,* ἵνα ἀνωρθώσῃ κάμνοντας* καί στηρίξει ἠμαγμένους.

Καί νῦν. Θεοτοκίον.

Ἀναπέμπομεν* οἱ δοῦλοι Σου, Πανάμωμε, θερμήν τήν δέησιν·* εἰς σωτηρίαν πιστούς* κατηύθυνον

ἅπαντας καί τήν ἐν πόλῳ χαράν* ἐπιβράβευσον* τοῖς Ὀρθοδόξοις, Δέσποινα,* τοῖς τιμῶσι τόν Σόν Τόκον.

Κανὼν β΄. Οἱ τῆς Ἰουδαίας.

Ναόν τῆς Θεοτόκου* ᾠκοδόμησας, Πάτερ, παντί περίβλεπτον,* ἐν πόλει τοῦ Φραγκίσκου* καί γῇ Ἀμερικανίδι·* διό τιμῶμέν σε ψάλλοντες·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Ἱκέτης νῦν προσπίπτω,* εἰσάκουσόν μου, Πάτερ, τῆς παρακλήσεως·* τό πλῆθος γάρ συντρίβει* τῆς ἐμῆς ἀνομίας· διό κραυγάζω σοι·* Ἰωάννη σεπτέ,* καμοῦ τό σκότος λῦσαι.

Δόξα.

Ὁ ἐκ τῆς ἁμαρτίας* τετραυματισμένος θερμῶς σοῦ δέομαι,* τῇ πίστει στηριχθῆναι* τῇ τῆς Ὀρθοδοξίας, τυχεῖν δ᾽ ἀφέσεως* ταῖς σαῖς σεπταῖς, Πάτερ, λιταῖς,* παμμάκαρ Ἰωάννη.

Καί νῦν. Θεοτοκίον.

Ὕμνου τήν ἱκεσίαν,* Σεμνή Παρθένε, δέχου· πρέσβυν γάρ φέρω Σοι,* τόν μέγαν Ἰωάννην,* τόν θεῖον Μαξιμόβιτς,* μεθ᾽ οὗ βοῶ Σοι, Ἁγνή·* χαῖρε ἡ αἰώνιος χαρά* πάντων τῶν θλιβομένων.

Ὠδὴ η΄.

Κανὼν α΄. Παῖδας εὐαγεῖς.

Νέμεις τοῖς προστρέχουσι ἐν πίστει* καί κλίνουσι γόνατα πρό σῆς* λάρνακος, θεσπέσιε,* εἰς ἣν σόν δέμας ἄφθορον,* δι᾽ οὗ βίον ἅγιον ἐν γῇ διήνυσας·*

τόν Κύριον ὑμνεῖτε τά ἔργα* καί ὑπερυψοῦτε* βοῶσι εἰς αἰῶνας.

Τεῖχος Χριστοῦ τῆς Ἐκκλησίας* ἐδείχθης ἐγρατείας πόνοις, Ἅγιε,* καί τά θεῖα σπέρματα* τοῦ Ἁγίου Πνεύματος,* ἐν Ταύτῃ ἐγεώργησας καί ἐπλεόνασας·* διό Κύριον βοῶμεν ὑμνοῦμεν* καί ὑπερυψοῦμεν* εἰς πάντας τούς αἰῶνας.

Δόξα.

Ὡραῖον δοχεῖον Παρακλήτου* δειχθείς τοῖς ἀγῶσι σου, στολήν* τῆς ἱερουργίας σου* ἐποίκιλας, θεσπέσιε,* τῶν ἀρετῶν τοῖς χρώμασι καί ταῖς λαπρότησι·* τόν Κύριον ὑμνεῖτε τά ἔργα* καί ὑπερυψοῦτε* διδάσκων εἰς αἰῶνας.

Καί νῦν. Θεοτοκίον.

Νίκην ἐπόμβρησον, Παρθένε,* τῷ Σέ νῦν προβάλλοντι διάσωσμα* ἀπό παθῶν ὀζόντων μου·* τέτοκας γάρ, Ἀπείρανδρε,* Πατρός Λόγον σύνθρονον, Ὅν ἐκδυσώπησον* τοῦ ἐκκαθᾶραι, Δέσποινα,* τῶν ἐμῶν πληγῶν τόν ῥῦπον.

Κανών β΄. Τόν Βασιλέα.

Ἴασιν δίδου* καί παραμύθησον, Πάτερ,* τόν πρός σέ καταφεύγοντα καί σπεῦσον* ἱλεῶσαι τόν Κριτήν,* κηδόμενος σοῦ τέκνου.

Δόξα.

Κάλλιστον ἔργον* τῶν σῶν θαυμάτων ἡ χάρις* προσφέρει τοῖς χρήζουσι, παμμάκαρ,* Ἰωάννη κλεινέ·* διό βοῶ σοι, σπεῦσον.

Καί νῦν. Θεοτοκίον.

Ἔρωτα θεῖον* ἐμφύτευσόν μοι, Παρθένε,* τῷ καταφεύγοντι πρός Σε· ζῆλον δέ δίδου* μετανοίας ἀληθοῦς,* πρεσβείαις Ἰωάννου.

Ὠδή θ΄.

Κανών α΄. Ἅπας γηγενής.

Ἴθυνας καλῶς* λόγοις τε καί πράξεσι πρός βίον ἔνθεον* τούς εἰς σέ προστρέχοντας,* ἅπαν, σεπτέ, τό πλήρωμα τῆς Ἐκκλησίας Χριστοῦ·* ὅθεν ἅπαντες* ἐπιβοῶμεν, Δέσποτα,* ἱκετεύειν τοῦ μή παῦσαι.

Δόξα.

Ὅρμον τῆς ζωῆς* τῆς μόνης κατέλαβες, τῆς ἐν τῷ πόλῳ, Ὅσιε·* βίου δέ τήν θάλασσαν* διέπλευσας, Ἅγιε, ἱστίῳ Πνεύματος·* πρός Ὅ ἅπαντας* τούς σούς πιστούς ὁδήγησον* σαῖς πρεσβείαις, Ἱεράρχα.

Καί νῦν. Θεοτοκίον.

Ὕψωσον, Ἁγνή,* νοός μου τήν ἔφεσιν πρός τόν θεῖον ἔρωτα,* πρεσβείαις τοῦ ἱκέτου Σου·* τήν τοῦ φωτός δ' ἀξίωσον ὁδόν πορεύεσθε,* Ἀπειρόγαμε,* καί φθέγγος φθᾶσαι ἀνέσπερον* τῆς χαρᾶς Υἱοῦ Σου, Κόρη.

Κανών β΄. Κυρίως Θεοτόκον.

Τιμῶν σήν, Πάτερ, μνήμην* γονυκλινῶς αἰτοῦμαι* τῆς παρακλήσεως ταύτης εἰσάκουσον* καί πρέσβευε διά παντός* ἐλεηθῆναι τόν μικρόν κοπιάσαντα.

Δόξα.

Ὅρμησον τήν ψυχήν μου* λιμένι εὐσεβείας,* πειρασμικῶν τε κυμάτων ἀπάλλαξον,* ὦ Ἰωάννη ἀγαθέ,* ὡς παῤῥησίαν ἔχων.

Καί νῦν. Θεοτοκίον.

Ὕμνου περατωθέντος* εἰρήνην βράβευσόν μοι* καί λογισμῶν τήν γαλήνην, Πανάχραντε·* ὑπό τήν σκέπην δέ τήν Σήν,* Παρθένε, τήρησόν με.

Ἐξαποστειλάριον. Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Ἱεραρχῶν τόν πρώτιστον* καί ἐν ἀσκήσει λάμψαντα,* τόν θεῖον Ἰωάννην,* τόν σεπτόν Ἀρχιθύτην* τόν τῆς Σαγκάης ἐν ἀρχῇ* καί Ἑσπερίας ὕστερον* καί ἐπί τῷ τέλει πόλεως* τῆς τοῦ Φραγκίσκου τιμῶμεν·* ὑπέρ ἡμῶν γάρ πρεσβεύει.

Θεοτοκίον.

Μαρία καθαρώτατον* χρυσοῦν θυμιατήριον,* τῆς ἀχωρήτου Τριάδος* δοχεῖον γέγονας ὄντως,* ἐν ᾧ Πατὴρ ηὐδόκησεν,* ὁ δὲ Υἱὸς ἐσκήνωσε* καὶ Πνεῦμα τὸ Πανάγιον* ἐπισκιάσαν Σοι, Κόρη,* ἀνέδειξε Θεοτόκον.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!

Πάτερ Ἰωάννη Ἅγιε,* ἀγωνισμάτων τῶν σῶν* τά λαμπρά κατωρθώματα* καί τῆς ἐγκρατείας σου* τό

ὑπέρμετρον ηὔγασε,* τάς διανοίας τῶν εὐφημούντων σε,* οὕς προσκαλεῖσαι, εἰς πόνων μίμησιν·* ὢ τῆς σῆς χάριτος* πῶς ἐν γῇ ὡς ἄϋλος σήν βιοτήν*ἤνυσας στερούμενος* καί κακουχούμενος.

Πάτερ Ἰωάννη Ἅγιε,* τῆς θλιβομένων Χαρᾶς,* τῆς Παρθένου,ἵδρυσας* περιλάλητον τέμενος·* ἔνθα τόν ὕμνον Αὐτῇ προσφέρομεν* μετ' εὐλαβείας, πιστοί προσπίπτοντες* καί πλῆθος ἄμετρον* εὐσεβῶν ἑκάστοτε, οἳ εὐλαβῶς* τῇ σῇ κρύπτῃ σπεύδομεν* ἀγαλλιώμενοι.

Πάτερ Ἰωάννη Ἅγιε,* ἐν τῷ κελλίῳ οἰκῶν* πειρασμῶν τόν καύσωνα,* ὡς ἐρήμου, ὑπέμεινας·* πάθη νεκρώσας παννύχοις στάσεσι,* τόν νοῦν καθάρας καί τό ὑπέρλαμπρον* κάλλος τοῦ Κτίστου σου* ἐναργῶς τεθέασαι περιχαρῶς·* πρέσβευε δεόμεθα* ὑπέρ τῶν δούλων σου.

Πάτερ Ἰωάννη Ἅγιε,* ἐπαναστάσεις σαρκός* καταστείλας γέγονας* Παρακλήτου οἰκητήριον·* ὅθεν τήν χάριν Αὐτοῦ δεξάμενος* φωτός τοῦ θείου γέγονας μέτοχος·* ὢ ἡμῖν δώρησαι,* ὡς Πατήρ φιλόστοργος, ὑπέρ ἡμῶν* τῷ Θεῷ εὐχόμενος* τῶν δοξαζόντων σε.

Δόξα. Ἦχος πλ. δ'.

Τόν Ἱεράρχην Κυρίου,* Ἰωάννην τόν Μαξίμοβιτς,* τιμήσωμεν, ὢ φιλέορτοι·* ἐν τῇ ἀσκήσει γάρ τῶν ἀρετῶν* δαβιτικῶς ἐξήνθησεν,* ὡς φοῖνιξ ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου* καί ὡσεί κέδρος ἐπληθύνθη τῇ Ἐκκλησίᾳ Του·* τῶν ἐν αὐτῷ δέ χαρισμάτων οὐκ ἠμέλησεν,* πλήν δι' αὐτῶν τόν βίον διῆλθεν*

εὐεργετῶν νοσοῦντας* καί τούς δεομένους τῆς αὐτοῦ ἀντιλήψεως.* Ἐνθέου, ὅθεν, εὐφροσύνης τάς καρδίας πληρώσαντες,* ἐπί τῇ μνήμῃ τῆς αὐτοῦ κοιμήσεως,* τοῦτον μακαρίσωμεν* εὐφημοῦντες τόν δοξάσαντα αὐτόν* Παντεπόπτην Κύριον.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε,* ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί,* Μήτηρ Θεοῦ τοῦ Ὑψίστου,* Σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε,* ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων,* νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη* δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.

Τόν ἐν Ἱεράρχαις θαυματουργόν* καί τόν ἐν ἀσκήσει* διαλάμψαντα καί σαλόν,* διά τήν τοῦ Κυρίου* ἀγάπην, τόν φανέντα* ἄφθορον ἐν ἐσχάτοις* χρόνοις τιμήσωμεν.